UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL

BERGISCHE UNIVERSITÄT WUPPERTAL

# Universitätsbibliothek Wuppertal

# Homeri Ilias

## Homerus

## Lipsiae, 1873

7. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2520

Visual Library

δώῃ ἐπουρανίοιϲι θεοῖϲ αἰειγενέτῃϲι
κρητῆρα ϲτήϲαϲθαι ἐλεύθερον ἐν μεγάροιϲιν,
ἐκ Τροίηϲ ἐλάϲανταϲ ἐυκνήμιδαϲ Ἀχαιούϲ.

---

# ΙΛΙΑΔΟϹ Η.

Ὣϲ εἰπὼν πυλέων ἐξέϲϲυτο φαίδιμοϲ Ἕκτωρ,
τῷ δ' ἅμ' Ἀλέξανδροϲ κί' ἀδελφεόϲ· ἐν δ' ἄρα θυμῷ
ἀμφότεροι μέμαϲαν πολεμίζειν ἠδὲ μάχεϲθαι.
ὡϲ δὲ θεὸϲ ναύτῃϲιν ἐελδομένοιϲιν ἔδωκεν
οὖρον, ἐπεί κε κάμωϲιν ἐυξέϲτῃϲ ἐλάτῃϲι
πόντον ἐλαύνοντεϲ, καμάτῳ δ' ὑπὸ γυῖα λέλυνται,
ὣϲ ἄρα τὼ Τρώεϲϲιν ἐελδομένοιϲι φανήτην.
ἔνθ' ἑλέτην ὃ μὲν υἱὸν Ἀρηιθόοιο ἄνακτοϲ,
Ἄρνῃ ναιετάοντα Μενέϲθιον, ὃν κορυνήτηϲ
γείνατ' Ἀρηίθοοϲ καὶ Φυλομέδουϲα βοῶπιϲ·
Ἕκτωρ δ' Ἠϊονῆα βάλ' ἔγχεϊ ὀξυόεντι

---

V. L. 527 δώῃ HMN. δώη CGL. δώιηι AD. δῴη Zonar. Lex. 590. αἰειγενέτηιϲι A. αἰειγενέτῃϲι CDGHO. αἰηγενέτῃϲϊ N. — 528 ϲτήϲεϲθαι EH Vrat. b. Et. Mg. 329, 52. μεγάροιϲι D. — 529 ἐλάϲαντεϲ Lips. ἐλάϲαϲιν G. εὐκνήμιδαϲ DGMO.

---

V. L. 1 Ὡϲ A. — 3 μέμαϲϲαν G. πολεμίζειν ACDEGL Apoll. de Synt. 45, 6. Et. Mg. 91, 50 et 55: πολεμιζέμεν H. — 5 ἐπεί κε, κάμωϲιν A. ἐπεί κε κάμωϲιν CE Mosc. 1. ἐπὴν κεκάμωϲιν HL. ἐπῆν κεκάμωϲιν D. ἐπὰν κεκάμωϲιν G. ἐπήν κε κάμωϲι Mosc. 2. ἐπεὶ κεκάμωϲι Cant. ἐϋξέϲτῃϲ (οι) S. ἐλάτῃϲι ACDE Cram. Epim. 218, 22. — 6 ἐλαύνοντεϲ: γρ. ἐρέϲϲοντεϲ A Lips. ὑπο ACH. ὕπο G. — 7 ὡϲ A. τρῴεϲϲιν L. — 10 φυλομέδουϲα ACDH Vrat. b. φιλομέδουϲα GLS. — 11 ἕκτωρ δὲ δηΐονῆα G.

---

A. c. 5 ἐπεί κε: οὕτωϲ ἀρίϲταρχοϲ, ἄλλοι δὲ ἐπήν κε Didymus. ἐπήν κε Sidonius teste Schol. V. ὅτι ἔν τιϲι γράφεται ἐπήν. ἐὰν δὲ οὕτωϲ ἔχῃ, προενεκτέον ὑφ' ἓν κεκάμωϲιν ὡϲ λελάχωϲιν Aristonicus. cf. ad A 168. H. T. 294. — 6 ἐλαύνοντεϲ: κατ' ἔνια τῶν ὑπομνημάτων ἐρέϲϲοντεϲ Didymus. ὑπὸ Herodianus, non ὕπο. — 7 τὼ: οὕτωϲ ἀρίϲταρχοϲ τώ (Cod. τὸ) δυϊκῶϲ Didymus. ἀμμώνιοϲ ἐν τῷ πρὸϲ ἀθηνοκλέα „τοὶ τρώεϲϲι" προφέρεται πληθυντικῶϲ Didymus. ad προφέρεται supplendum est ὡϲ ἀριϲτάρχειον, vid. H. T. 103 sq. — 9 Ἄρνῃ Zenodotus.

αὐχέν᾽ ὑπὸ ϲτεφάνηϲ εὐχάλκου, λῦϲε δὲ γυῖα.
Γλαῦκοϲ δ᾽, Ἱππολόχοιο πάιϲ, Λυκίων ἀγὸϲ ἀνδρῶν,
Ἰφίνοον βάλε δουρὶ κατὰ κρατερὴν ὑϲμίνην
Δεξιάδην, ἵππων ἐπιάλμενον ὠκειάων,
ὦμον· ὃ δ᾽ ἐξ ἵππων χαμάδιϲ πέϲε, λύντο δὲ γυῖα.
τοὺϲ δ᾽ ὡϲ οὖν ἐνόηϲε θεὰ γλαυκῶπιϲ Ἀθήνη
Ἀργείουϲ ὀλέκονταϲ ἐνὶ κρατερῇ ὑϲμίνῃ,
βῆ ῥα κατ᾽ Οὐλύμποιο καρήνων ἀίξαϲα
Ἴλιον εἰϲ ἱερήν. τῇ δ᾽ ἀντίοϲ ὤρνυτ᾽ Ἀπόλλων
Περγάμου ἐκκατιδών, Τρώεϲϲι δὲ βούλετο νίκην.
ἀλλήλοιϲι δὲ τώ γε ϲυναντέϲθην παρὰ φηγῷ.
τὴν πρότεροϲ προϲέειπεν ἄναξ Διὸϲ υἱὸϲ Ἀπόλλων·
τίπτε ϲὺ δὴ αὖ μεμαυῖα, Διὸϲ θύγατερ μεγάλοιο,
ἦλθεϲ ἀπ᾽ Οὐλύμποιο, μέγαϲ δέ ϲε θυμὸϲ ἀνῆκεν;
ἦ ἵνα δὴ Δαναοῖϲι μάχηϲ ἑτεραλκέα νίκην
δῷϲ; ἐπεὶ οὔ τι Τρῶαϲ ἀπολλυμένουϲ ἐλεαίρειϲ.
ἀλλ᾽ εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη,
νῦν μὲν παύϲωμεν πόλεμον καὶ δηιοτῆτα
ϲήμερον· ὕϲτερον αὖτε μαχήϲοντ᾽, εἰϲ ὅ κε τέκμωρ
Ἰλίου εὕρωϲιν, ἐπεὶ ὣϲ φίλον ἔπλετο θυμῷ
ὑμῖν ἀθανάτῃϲι, διαπραθέειν τόδε ἄϲτυ.
τὸν δ᾽ αὖτε προϲέειπε θεὰ γλαυκῶπιϲ Ἀθήνη·

---

V. l. 12 ὑπο A. ὑπὲρ Cant. ἐϋχάλκου S Apoll. Lex. 97, 13. εὐκύκλου D. λῦϲε: λῦϲαι D. λύντο S. — 14 κατα A. — 15 ἐπάλμενον D. — 16 ὃ δ᾽ D. ὅδ᾽ CGL. χαμάδηϲ G. λῦντο CDEG. — 17 τὸν δ᾽ ὡϲ οὖν L. — 18 ὀλέκοντα L post ras. ἀνὰ κρατερὴν ὑϲμίνην Vrat. b. — 19 ῥὰ DGL. — 20 ἱερὴν ACDHLS Cant. Barocc. Mor. Mosc. 1. 2. ἱρὴν G Draco de Metr. 54, 16. — 21 ἐκκατιδὼν ACDGHLS, conf. Δ 508. — 22 ϲυναντίϲθην G. παρὰ: περὶ S Cant. — 24 * δὴ αὖ: libri δ᾽ αὖ. θυγάτηρ C. — 25 Οὐλύμποιο: οὐλύμπου γε G. — 26 ἢ D. — 27 οὔτι ACDGHLS Mor. Harl. Lips. Vrat. b. A. Mosc. 1. alii οὔτοι. τρῷαϲ L. — 28 πείθοιο D. — 29 νῦν μὲν δὴ D. — 30 αὖτε: αὖ E. δ᾽ αὖτε D. μαχήϲονται L. libri εἰϲόκε. — 32 ἀθανάτοιϲι D 1. man. Cant. Harl. Vrat. b. c.

---

A. c. 12 ἀρίϲταρχοϲ λῦντο δὲ γυῖα Didymus, conf. 6, 16, Β 135, 397, Μ 159, Ν 28, 117. — 15 Δεξιάδην: τινὲϲ δεξιάδην ἐπιάλμενον, ἤτοι ἀπὸ τῶν δεξιῶν μερῶν ἐπιβαίνοντα Schol. BLV. conf. Et. Mg. 256, 11. Hesych. I, 474. Eust. 662, 4. εἴτε ὄνομα πατρωνυμικόν, εἴτε ποιότητοϲ ἢ τόπου ἐπίρρημα, δύναται καὶ τοῖϲ ἄνω καὶ τοῖϲ ἑπομένοιϲ ϲυνάπτεϲθαι Nicanor. — 16 λύντο Aristarchus, conf. Ariston. ὅτι λύντο εἶπεν ἀντὶ τοῦ ἐλύθηϲαν. — 31 βαρυτονητέον τὸ ὥϲ Herodianus. — 32 ἀθανάτῃϲι: ἀθανάτοιϲι Zenodotus. Aristophanes ἀμφοτέρῃϲι. — 33 ὅτι Ζηνόδοτοϲ γράφει τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα Aristonicus.

ὧδ' ἔστω ἑκάεργε· τὰ γὰρ φρονέουσα καὶ αὐτὴ
ἦλθον ἀπ' Οὐλύμποιο μετὰ Τρῶας καὶ Ἀχαιούς.
ἀλλ' ἄγε, πῶς μέμονας πόλεμον καταπαυσέμεν ἀνδρῶν;
τὴν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορος ὄρσωμεν κρατερὸν μένος ἱπποδάμοιο,
ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι.
οἳ δέ κ' ἀγασσάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ
οἶον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ.
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη.
τῶν δ' Ἕλενος, Πριάμοιο φίλος παῖς, σύνθετο θυμῷ
βουλήν, ἥ ῥα θεοῖσιν ἐφήνδανε μητιόωσι·
στῆ δὲ παρ' Ἕκτορ' ἰὼν καί μιν πρὸς μῦθον ἔειπεν·
Ἕκτορ, υἱὲ Πριάμοιο, Διὶ μῆτιν ἀτάλαντε,
ἦ ῥά νύ μοί τι πίθοιο; κασίγνητος δέ τοί εἰμι·
ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς,
αὐτὸς δὲ προκάλεσσαι Ἀχαιῶν ὅς τις ἄριστος
ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηιοτῆτι·
οὐ γάρ πώ τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν.
ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν αἰειγενετάων.
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτε χάρη μέγα μῦθον ἀκούσας,
καί ῥ' ἐς μέσσον ἰὼν Τρώων ἀνέεργε φάλαγγας,
μέσσου δουρὸς ἑλών· οἳ δ' ἱδρύνθησαν ἅπαντες.
κὰδ δ' Ἀγαμέμνων εἷσεν ἐυκνήμιδας Ἀχαιούς.
κὰδ δ' ἄρ' Ἀθηναίη τε καὶ ἀργυρότοξος Ἀπόλλων
ἑζέσθην ὄρνισιν ἐοικότες αἰγυπιοῖσι

V. L. 35 ἀπουλύμποιο A. μετὰ: κατὰ S Cant. τρῷας L. — 36 ἀνδρῶν omitt. L. — 38 ὄρσομεν CD. — 41 αγασάμενοι G. χαλκοκνήμιδες A. — 43 ὡς A. — 44 σύνθετο: ξύνθετο Plutarchus de Genio Socratis 24. — 45 ἦ ῥὰ DL. ἐφῆνδανε A. μητιόωσι AG. — 46 προς A. ἔειπε C. — 48 ἦ ῥὰ CL. νύ μοι τί CGL. νύ μοι τι DH. δέ τοι εἰμί ACDEGHL. — 49 κάθιζον L. τρῷας L. — 52 γάρ πω τοι CGHL. γὰρ πῶ τοι D. — 53 ὡς Eust. 1780, 20. ἐγὼ G. αἰειγενετάων A. — 54 ὡς A. * αὖτε χάρη: libri αὖτ' ἐχάρη. δ' ἆρ: γρ. δ' αὖτ' ἐχάρη L. — 55 μέσον EG 1. man. τρῴων L. — 56 μέσον G. οἳ δ' DLS. οἵ δ' A Cant. Vrat. b. Mosc. 1. vulgo τοὶ δ'. τοίδ' C. ἵδρύθησαν H. — 57 καδδ' CDGHL. εὐκνήμιδας DG. — 58 καδδ' CDGHL. ἆρ AEGL. — 59 αἰγυπίοισι ACG.

A. c. 41 ἀγασσάμενοι: ἀγασσόμενοι Aristarchus. — 53 ἀθετεῖται Aristonicus.

φηγῷ ἐφ' ὑψηλῇ πατρὸϲ Διὸϲ αἰγιόχοιο,
ἀνδράϲι τερπόμενοι· τῶν δὲ ϲτίχεϲ εἵατο πυκναὶ
ἀϲπίϲι καὶ κορύθεϲϲι καὶ ἔγχεϲι πεφρικυῖαι.
οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἔπι φρὶξ
ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντοϲ ὑπ' αὐτῆϲ,
τοῖαι ἄρα ϲτίχεϲ εἵατ' Ἀχαιῶν τε Τρώων τε
ἐν πεδίῳ· Ἕκτωρ δὲ μετ' ἀμφοτέροιϲιν ἔειπε·
κέκλυτέ μευ Τρῶεϲ καὶ ἐυκνήμιδεϲ Ἀχαιοί,
ὄφρ' εἴπω, τά με θυμὸϲ ἐνὶ ϲτήθεϲϲι κελεύει.
ὅρκια μὲν Κρονίδηϲ ὑψίζυγοϲ οὐκ ἐτέλεϲϲεν,
ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροιϲιν,
εἰϲ ὅ κεν ἢ ὑμεῖϲ Τροίην εὔπυργον ἕλητε,
ἤ αὐτοὶ παρὰ νηυϲὶ δαμήετε ποντοπόροιϲιν.
ὑμῖν δ' ἐν γὰρ ἔαϲιν ἀριϲτῆεϲ Παναχαιῶν·
τῶν νῦν ὅν τινα θυμὸϲ ἐμοὶ μαχέϲαϲθαι ἀνώγῃ,
δεῦρ' ἴτω ἐκ πάντων πρόμοϲ ἔμμεναι Ἕκτορι δίῳ.
ὧδε δὲ μυθέομαι, Ζεὺϲ δ' ἄμμ' ἐπιμάρτυροϲ ἔϲτω·

V. l. 60 ἐφ': ἐν Barocc. Mor. Schol. Π 233. — 61 εἴατο CD. — 62 πεφρικυῖαι: γρ. καὶ βεβριθυῖαι A. — 63 ἐπιφρὶξ CDE 664, 57; 665, 1; 4 GHL post ras. ἐπὶ φρὶξ L 1. man. ἐπι, φρὶξ S. ἐπίφριξ Lips. Vrat. b. ἔπι φρίξ A Schol. Λ 269, Φ 126. — 64 μελάν$\overset{η}{ει}$ S. μελαίνει G Mor. πόντοϲ AC 2. man. DEHLS Vrat. A. Schol. Λ 269, Ν 340, Φ 126, α 44. Eustath. 967, 40: πόντον C 1. man. G Lips. Vrat. c. utrumque Harl. αὐτῆϲ ACDEHLS Schol. Λ 269, Φ 126: αὐτῇ Lips. Harl. Townl. Ven. B. αὐτοῦ G. — 65 εἴατ' CD. τρώων L. — 66 ἔειπε ACGH. — 67 τρῷεϲ L. εὐκνήμιδεϲ CDGHL. — 68 ἔνι A. — 69 ἐτέλεϲεν G 1. man. — 70 ἀμφοτέροιϲι AG. — 71 ἡμεῖϲ L. ἐΰπυργον CL. ἕληται D. ἕλοιτε H Et. Gud. 174, 13. — 72 ἢ καὶ αὐτοὶ G. * δαμήετε: libri δαμείετε. ποντοπόροιϲι D. — 73 δ' ἐν: μὲν ACDEGHL. γὰρ omitt. H. παναχαιῶν A. — 74 τῶν νῦν ὅντινα: γρ. τῶν εἴ καί τινα θυμὸϲ A. θυμὸϲ ἐνὶ ϲτήθεϲϲιν ἀνώγει H. μάχεϲθαι L. * ἀνώγῃ: libri ἀνώγει. — 76 ἄμμ': ἄμμ' D. ἄμ' Schol. Β 302, Γ 280. ἔπι μάρτυροϲ A. ἐπὶ μάρτυροϲ Cram. An. Par. III, 135, 15, quod non displicet.

A. c. 62 πεφρικυῖαι: βεβριθυῖαι, cf. ad Δ 282. — 63 ὁ Ἀϲκαλωνίτηϲ ἀναϲτρέφει „πόντον ἔπι“, οὕτωϲ καὶ οἱ ἄλλοι· καὶ ἄμεινον Herodianus. — 64 ἀρίϲταρχοϲ πόντον διὰ τοῦ ν̄ καὶ ὑπ' αὐτῇ, τῇ φρικί, ἄλλοι δὲ πόντοϲ ὑπ' αὐτοῦ Didymus, conf. Aristonicum. — 72 δαμήετε scripsi cum Bekkero, δαμείετε enim, quod libri exhibent, neque optativus, nec coniunctivus potest esse; nam η̄ optativi nusquam in ε̄ corripitur et ε̄ in formis coniunctivi, si subsequitur ε̄ vel η̄, non nisi in η̄ producitur, cf. παρϲτήετον ϲ 182, βλήεται ρ 472, H. U. 153. — 73 Aristarchus ὑμῖν δ' ἐν γὰρ ἔαϲιν. — 74 ἀνώγῃ scripsi libris invitis, nam ὅϲ τιϲ pro ὅϲ κεν (quicunque) positum cum coniunctivo iungitur, vide Α 230, Ν 234, Ρ 631, Φ 347, α 352, 415, γ 320, ε 448, θ 210, μ 41, 66, ν 214, ξ 106. ο 401, π 76, ϲ 335, υ 335, ω 286.

εἰ μέν κεν ἔμ᾽ ἐκεῖνος ἕλῃ ταναήκεϊ χαλκῷ,
τεύχεα ϲυλήϲαϲ φερέτω κοίλαϲ ἐπὶ νῆαϲ,
ϲῶμα δὲ οἴκαδ᾽ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρόϲ με
Τρῶεϲ καὶ Τρώων ἄλοχοι λελάχωϲι θανόντα.
εἰ δέ κ᾽ ἐγὼ τὸν ἕλω, δώῃ δέ μοι εὖχοϲ Ἀπόλλων,
τεύχεα ϲυλήϲαϲ οἴϲω προτὶ Ἴλιον ἱρήν,
καὶ κρεμόω προτὶ νηὸν Ἀπόλλωνοϲ ἑκάτοιο,
τὸν δὲ νέκυν ἐπὶ νῆαϲ ἐυϲϲέλμουϲ ἀποδώϲω,
ὄφρά ἑ ταρχύϲωϲι κάρη κομόωντεϲ Ἀχαιοὶ
ϲῆμά τέ οἱ χεύωϲιν ἐπὶ πλατεῖ Ἑλληϲπόντῳ·
καί ποτέ τιϲ εἴπῃϲι καὶ ὀψιγόνων ἀνθρώπων,
νηὶ πολυκλήιδι πλέων ἐπὶ οἴνοπα πόντον·
ἀνδρὸϲ μὲν τόδε ϲῆμα πάλαι κατατεθνηῶτοϲ,
ὅν ποτ᾽ ἀριϲτεύοντα κατέκτανε φαίδιμοϲ Ἕκτωρ.
ὥϲ ποτέ τιϲ ἐρέει· τὸ δ᾽ ἐμὸν κλέοϲ οὔ ποτ᾽ ὀλεῖται.
ὥϲ ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντεϲ ἀκὴν ἐγένοντο ϲιωπῇ·
αἴδεϲθεν μὲν ἀνήναϲθαι, δεῖϲαν δ᾽ ὑποδέχθαι.
ὀψὲ δὲ δὴ Μενέλαοϲ ἀνίϲτατο καὶ μετέειπε
νείκει ὀνειδίζων, μέγα δὲ ϲτεναχίζετο θυμῷ·
ὤ μοι, ἀπειλητῆρεϲ, Ἀχαιίδεϲ, οὐκέτ᾽ Ἀχαιοί·
ἦ μὲν δὴ λώβη τάδε γ᾽ ἔϲϲεται αἰνόθεν αἰνῶϲ,
εἰ μή τιϲ Δαναῶν νῦν Ἕκτοροϲ ἀντίοϲ εἶϲιν.
ἀλλ᾽ ὑμεῖϲ μὲν πάντεϲ ὕδωρ καὶ γαῖα γένοιϲθε,

V. l. 77 ἔμ᾽ ἐκεῖνοϲ H: ceteri ἐμὲ κεῖνοϲ. — 80 τρῷεϲ καὶ τρῴων L. — 81 εἰ δέ κ᾽ ἐγὼ τὸν: αἴ κεν πῶϲ μιν Apoll. Lex. 18, 10. δώῃ: δώη CGL. δῴη ADE 666, 6 et 36 S Apoll. Lex. 18, 10. — 82 προτὶ ACDEGHL: ποτὶ S. — 83 προτὶ ADH: ποτὶ CELS. ἐπὶ G Mor. Barocc. νηὸϲ L. — 84 ἐϋϲέλμουϲ C 1. man. EG. — 85 ὄφρά ἑ ACHL. ὄφρα ἓ DG. ταρχύϲουϲι H. ταρχεύϲωϲι G. ταρχεύωϲι Mor. ταρχήϲωϲι Vrat. b. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 86 χεύϲωϲιν GLS. — 87 εἴποιϲι G. — 88 κατατεθνηῶτοϲ GHL Et. Mg. 711, 11: κατατεθνειῶτοϲ ACDES Barocc. Lips. Cant. Vrat. A. Ven. B. Pseudoplut. 162, 39. — 91 ὡϲ A. — 92 ὡϲ A. οἵδ᾽ CGHL. ἀκῆν G. — 93 ἀνήναϲθαι ACGH. ἀρνήϲαϲθαι S. — 94 μετέειπε ACDG. — 95 νείκε᾽ (α) G. δὲ ϲτοναχίζετο CE. δ᾽ ἐϲτοναχίζετο GL Mor. δ᾽ ἐϲτεναχίζετο H Townl. — 96 ὤμοι ACGH. ὢ μοι D. — 97 τά γ᾽ ἔϲϲεται D. — 98 ἀντίον Townl. εἶϲι DG. — 99 μὲν omitt. H.

A. c. 77 ἔμ᾽ ἐκεῖνοϲ, conf. Ξ 250, κ 397, 414, λ 615, π 151, ρ 110, ψ 76, H. T. 249. — 89 ἀρίϲταρχοϲ διὰ τοῦ η̅ κατατεθνηιῶτοϲ (sic) Didymus. — 95 νείκει: ἔν τιϲι τῶν ὑπομνημάτων νείκε᾽ ὀνειδίζων ἔξω τοῦ ῑ Didymus. praeter hoc aliud scholium in cod. A margini est adscriptum ἔν τιϲι νείκε᾽ ὀνειδίζων.

ἥμενοι αὖθι ἕκαϲτοι ἀκήριοι, ἀκλεὲϲ αὔτωϲ·
τῷδε δ᾽ ἐγὼν αὐτὸϲ θωρήξομαι· αὐτὰρ ὕπερθε
νίκηϲ πείρατ᾽ ἔχονται ἐν ἀθανάτοιϲι θεοῖϲιν.
    ὣϲ ἄρα φωνήϲαϲ κατεδύϲετο τεύχεα καλά.
ἔνθά κέ τοι Μενέλαε φάνη βιότοιο τελευτὴ
Ἕκτοροϲ ἐν παλάμῃϲιν, ἐπεὶ πολὺ φέρτεροϲ ἦεν,
εἰ μὴ ἀναΐξαντεϲ ἕλον βαϲιλῆεϲ Ἀχαιῶν·
αὐτόϲ τ᾽ Ἀτρείδηϲ, εὐρὺ κρείων Ἀγαμέμνων,
δεξιτερῆϲ ἕλε χειρὸϲ ἔποϲ τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζεν·
    ἀφραίνειϲ Μενέλαε διοτρεφέϲ, οὐδέ τί ϲε χρὴ
ταύτηϲ ἀφροϲύνηϲ· ἀνὰ δὲ ϲχέο κηδόμενόϲ περ,
μὴ δ᾽ ἔθελ᾽ ἐξ ἔριδοϲ ϲεῦ ἀμείνονι φωτὶ μάχεϲθαι,
Ἕκτορι Πριαμίδῃ, τόν τε ϲτυγέουϲι καὶ ἄλλοι.
καὶ δ᾽ Ἀχιλεὺϲ τούτῳ γε μάχῃ ἔνι κυδιανείρῃ
ἔρριγ᾽ ἀντιβολῆϲαι, ὅ περ ϲέο πολλὸν ἀμείνων.
ἀλλὰ ϲὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἔθνοϲ ἑταίρων,
τούτῳ δὲ πρόμον ἄλλον ἀναϲτήϲουϲιν Ἀχαιοί.
εἴ περ ἀδειήϲ τ᾽ ἐϲτὶ καὶ εἰ μόθου ἔϲτ᾽ ἀκόρητοϲ,

---

V. ι. αὖθι: αὖθιϲ Apoll. Lex. 19, 15. ἀκλεεῖϲ G. αὔτωϲ CEGH Apoll. Lex. 19, 15. αύτωϲ A. — 101 τῷ δ᾽ ἐγὼν L. τῷ δὲ ἐγὼν E 667, 60. ὕπερθε ACEG Townl.: alii ὕπερθεν. — 102 θεοῖϲι D. — 103 ώϲ A. κατεδύϲετο G Vrat. c. Mosc. 1. κατεδύϲϲετο H: κατεδύϲατο ACDLS Cant. Mor. Barocc. — 104 βιότοιο: γρ. καὶ θανάτοιο τελευτὴ οἷον θανάϲιμον τέλοϲ A. — 107 αὐτόϲ τ᾽: αὐτὸϲ δ᾽ HS Cant. εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 108 ὀνόμαζε ADG. — 109 διοτροφὲϲ GH. οὐδέ τι ϲε ACDGHL. χρὴ: χρεὼ H. — 110 ἀνὰ δὲ, ϲχέο A. ἀνα CD. δὲ ϲχέο DE 668, 8. ἀνα δ᾽ ἔϲχεο GL. ceteri ἀνὰ δ᾽ ἴϲχεο. — 111 μὴ δ᾽ ACDGL. μὴδ᾽ et μηδ᾽ E. μὴ δὲ θέλ᾽ H. — 113 ἀχιλλεὺϲ DEGH. τούτῳ γε: γρ. καὶ τοῦτόν γε A. ἐνὶ CEGH Io. Alex. 3, 28. ἐνι AD. — 117 ἀδειήϲ τ᾽ ἐϲτὶ ACE bis GL Apoll. Lex. 9, 18. ἀδειήϲ γ᾽ ἐϲτὶ H. ἀδειήϲ ἐϲτι DE 669, 36. Townl. Vrat. b. c. γρ. καὶ διὰ τοῦ γε ἀδειήϲ γε A. ἔϲτ᾽: ἐϲτ᾽ G.

---

A. c. 110 ἀρίϲταρχοϲ ἀναδ ἄνϲχεο, ἀνάϲχου δὲ Didymus. adduci non possum ut credam Aristarchum ἀνὰ δ᾽ ἄνϲχεο scripsisse, quod omnino pro varia lectione non habeo; variant enim libri inter δὲ ϲχέο et δ᾽ ἴϲχεο. illud Herodiani est, ut ex scholio eius patet (τὸ ϲχέο τὴν ὀξεῖαν ἴϲχει ἐφ᾽ ἑαυτοῦ νῦν), hoc Schol. Vict. Aristarcho et Herodiano tribuit, non minus a vero aberrans. id unum ei concedere possumus, Aristarchum ἀνὰ δ᾽ ἴϲχεο scripsisse, si enim lectio Aristarchea eadem esset, quae in codice A, librarius more suo οὕτωϲ ἀρίϲταρχοϲ ἀνὰ δὲ ϲχέο scripsisset, de quo dixi H. T. 125 sq. sed ne id quidem certum est, nam haec lex in codice non ubique servatur, quapropter Herodiani et librorum optimorum auctoritatem sequi malebam. — 114 ἀμείνων: Ζηνόδοτοϲ χωρὶϲ τοῦ ν̄ ἀμείνω γράφει Aristonicus, conf. A 80, 249. τὸ δὲ ἀντιβολῆϲαι γράφεται καὶ διὰ τοῦ μ̄ ἀντιμολῆϲαι Schol. A.

φημί μιν ἀςπαςίως γόνυ κάμψειν, αἴ κε φύγηςι
δηίου ἐκ πολέμοιο καὶ αἰνῆς δηιοτῆτος.
ὣς εἰπὼν παρέπειςεν ἀδελφειοῦ φρένας ἥρως,
αἴςιμα παρειπών· ὃ δ᾽ ἐπείθετο. τοῦ μὲν ἔπειτα
γηθόςυνοι θεράποντες ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
Νέςτωρ δ᾽ Ἀργείοιςιν ἀνίςτατο καὶ μετέειπεν·
ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιίδα γαῖαν ἱκάνει·
ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ἐςθλὸς Μυρμιδόνων βουληφόρος ἠδ᾽ ἀγορητής,
ὅς ποτέ μ᾽ εἰρόμενος μέγ᾽ ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ,
πάντων Ἀργείων ἐρέων γενεήν τε τόκον τε.
τοὺς νῦν εἰ πτώςςοντας ὑφ᾽ Ἕκτορι πάντας ἀκούςαι,
πολλά κεν ἀθανάτοιςι φίλας ἀνὰ χεῖρας ἀείραι
θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴςω.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
ἡβῷμ᾽ ὡς ὅτ᾽ ἐπ᾽ ὠκυρόῳ Κελάδοντι μάχοντο
ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεςίμωροι,
Φειᾶς πὰρ τείχεςςιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα.
τοῖςι δ᾽ Ἐρευθαλίων πρόμος ἵςτατο, ἰςόθεος φώς,
τεύχε᾽ ἔχων ὤμοιςιν Ἀρηιθόοιο ἄνακτος,
δίου Ἀρηιθόου, τὸν ἐπίκληςιν κορυνήτην
ἄνδρες κίκληςκον καλλίζωνοί τε γυναῖκες,
οὕνεκ᾽ ἄρ᾽ οὐ τόξοιςι μαχέςκετο δουρί τε μακρῷ,
ἀλλὰ ςιδηρείῃ κορύνῃ ῥήγνυςκε φάλαγγας.
τὸν Λυκόοργος ἔπεφνε δόλῳ, οὔ τι κράτεΐ γε,

---

V. L. 118 φύγηςι ACDEGH. — 119 πολέμου DE. — 120 ὡς A. — 121 ὅδ᾽ CGHL. — 124 ὦ: ὢ AD. — 125 ἢ καὶ C. κεν μέγ᾽ οἰμώξειεν D. — 126 omitt. Apoll. de Synt. 89, 13. — 127 ἐνιοίκωι A. — 129 πτώςοντας G. ἀκούςαι ACL Lips. Cant. Townl. Vrat. c. A. Mosc. 1. ἀκοῦςαι H. ἀκούςοι G Mor. Barocc. Lips. man. sec. ἀκούςει DE. — 130 ἀνα A. χεῖρας ἀναεῖραι φίλας D. ἀείροι G Mor. Barocc. ἀείρο (οι) H. — 131 ἀπο A. ἀπαὶ GL post ras. S Cant. — 133 ὠκυῤῥόω L. — 135 παρ AD. ἰορδάνου H. — 136 τοῖςι δ᾽ ἄρ᾽ ἐρευθαλίων H. — 137 ἀρηϊθόου G. — 140 ἆρ EGL. ἀρ A. οὕνεκαρ D. — 142 λυκάοργος G. λυκόεργος Mor. Λυκοῦργος Schol. Z 130. κράτει γε H.

---

A. c. 127 Zenodotus μειρόμενος et μεγάλ᾽ ἔςτενεν, non μέγα δ᾽ ἔςτενεν, conf. Schol. I 616. — 130 φίλας ἄνα: ἐν ταῖς ἐξηταςμέναις Ἀριςτάρχου βαρείας χεῖρας Didymus. — 133 Κελάδοντι: alii Ἀκίδοντι teste Strabone VIII, 348. — 135 Φειᾶς: nonnulli Χάας apud Strabonem VIII, 348. alii Φιᾶς teste Eust. 671, 18.

στεινωπῷ ἐν ὁδῷ, ὅθ' ἄρ' οὐ κορύνη οἱ ὄλεθρον
χραῖσμε σιδηρείη· πρὶν γὰρ Λυκόοργος ὑποφθὰς
δουρὶ μέσον περόνησεν, ὃ δ' ὕπτιος οὔδει ἐρείσθη·
τεύχεα δ' ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης.
καὶ τὰ μὲν αὐτὸς ἔπειτα φόρει μετὰ μῶλον ἄρηος.
αὐτὰρ ἐπεὶ Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα,
δῶκε δ' Ἐρευθαλίωνι, φίλῳ θεράποντι, φορῆναι·
τοῦ ὅ γε τεύχε' ἔχων προκαλίζετο πάντας ἀρίστους.
οἳ δὲ μάλ' ἐτρόμεον καὶ ἐδείδισαν οὐδέ τις ἔτλη·
ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν
θάρσει ᾧ· γενεῇ δὲ νεώτατος ἔσκον ἁπάντων·
καὶ μαχόμην οἱ ἐγώ, δῶκεν δέ μοι εὖχος Ἀθήνη.
τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα·
πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα.
εἴθ' ὣς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη,
τῶ κε τάχ' ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ.
ὑμέων δ' οἵ περ ἔασιν ἀριστῆες Παναχαιῶν,
οὐδ' οἳ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν.
ὣς νείκεσσ' ὁ γέρων, οἳ δ' ἐννέα πάντες ἀνέσταν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
τῷ δ' ἐπὶ Τυδείδης ὦρτο κρατερὸς Διομήδης,

V. l. 143 στεινοπῷ D 2. man. εἰν ὁδῷ L. ἄρ EGL. ἀρ A. ἀρ D. — 144 λυκάοργος G. ὑποφθὰς: γρ. καὶ ἀναστὰς A. — 145 ὁ δ' D. ὅδ' CGHL. — 146 τεύχεα δ' AHS Cant. Harl. τεύχεά τ' CDEGL. τά: ἅ Schol. Υ 265. χάλκειος G. — 147 ἔπειτα φόρει ADEGL Cant. Lips. Harl. Vrat. b. Mosc. 1. ἔπειτ' αὐτὸς φόρει C. ἔπειτ' ἐφόρει H. — 148 λυκάοργος G. ἐνιμεγάροισιν AD. ἐνῗμμεγάροισῒν CH. ἐγήρᾱ AC. — 149 δῶκε δ': δῶκεν D post ras. GHS. — 151 οἳ δὲ C. μάλλ' D. δὲ μέγ' H. post hunc insertus in GS Cant. Barocc. Mor. Vrat. b. versus ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι. — 152 πολυτλήμων A. — 153 θάρσει ACDGHL: θάρσεῒ Apoll. de Pron. 60 C. de Synt. 155, 1. — 154 οἳ CD. δῶκε CDEGL 1. man. εὖχος ἀπόλλων H. — 156 παρήορος E bis. — 157 ὡς A. — 158 τῶ ACHL: τῷ DEG. κε: καὶ D. κορυθαιόλος D. — 159 παναχαιῶν A. — 160 οἳ ACDEGHL. — 161 ὡς A. νείκες' G. οἳ δ' D. οἵδ' CGHL. — 162 πρῶτος: πρῶτον S Cant. Lips. 1. man. μὲν omitt. L. — 163 ἐπι AC. ἔπι EGH.

A. c. 144 ὑποφθάς: Ἀρίσταρχος δέ φησι καὶ ἀναστάς, οἷον ἐκ λόχου ἀναστάς Didymus. — 146 τεύχεα δ': οὕτως ἀρίσταρχος, ἄλλοι δὲ διὰ τοῦ τε τεύχεά τ' ἐξενάριξε Didymus. — 149 δῶκε δ' Aristarchus: alii δῶκεν. — 153 θάρσει ᾧ: θάρσει ἐμῷ Zenodotus. — 163 ἐπὶ, non ἔπι, Herodianus, idem 164, 165, 167 ἐπ', non ἔπ' conf. Schol. 167 οὐδὲ ἐνθάδε ἀναστρεπτέον, καὶ ὅτι συνήλειπται.

τοῖϲι δ' ἐπ' Αἴαντεϲ, θοῦριν ἐπιειμένοι ἀλκήν,
τοῖϲι δ' ἐπ' Ἰδομενεὺϲ καὶ ὀπάων Ἰδομενῆοϲ,
Μηριόνηϲ, ἀτάλαντοϲ Ἐνυαλίῳ ἀνδρεϊφόντῃ,
τοῖϲι δ' ἐπ' Εὐρύπυλοϲ, Εὐαίμονοϲ ἀγλαὸϲ υἱόϲ,
ἂν δὲ Θόαϲ Ἀνδραιμονίδηϲ καὶ δῖοϲ Ὀδυϲϲεύϲ·
πάντεϲ ἄρ' οἵ γ' ἔθελον πολεμίζειν Ἕκτορι δίῳ.
τοῖϲ δ' αὖτιϲ μετέειπε Γερήνιοϲ ἱππότα Νέϲτωρ·
κλήρῳ νῦν πεπάλαϲθε διαμπερέϲ, ὅϲ κε λάχῃϲιν·
οὗτοϲ γὰρ δὴ ὀνήϲει ἐυκνήμιδαϲ Ἀχαιούϲ·
καὶ δ' αὐτὸϲ ὃν θυμὸν ὀνήϲεται, αἴ κε φύγῃϲι
δηΐου ἐκ πολέμοιο καὶ αἰνῆϲ δηιοτῆτοϲ.
ὣϲ ἔφαθ', οἱ δὲ κλῆρον ἐϲημήναντο ἕκαϲτοϲ,
ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονοϲ Ἀτρεΐδαο.
λαοὶ δ' ἠρήϲαντο, θεοῖϲι δὲ χεῖραϲ ἀνέϲχον·
ὧδε δέ τιϲ εἴπεϲκεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν, ἢ Τυδέοϲ υἱόν,
ἢ αὐτὸν βαϲιλῆα πολυχρύϲοιο Μυκήνηϲ.
ὣϲ ἄρ' ἔφαν, πάλλεν δὲ Γερήνιοϲ ἱππότα Νέϲτωρ,
ἐκ δ' ἔθορε κλῆροϲ κυνέηϲ, ὃν ἄρ' ἤθελον αὐτοί,
Αἴαντοϲ· κῆρυξ δὲ φέρων ἀν' ὅμιλον ἁπάντῃ
δεῖξ' ἐνδέξια πᾶϲιν ἀριϲτήεϲϲιν Ἀχαιῶν.
οἱ δ' οὐ γιγνώϲκοντεϲ ἀπηνήναντο ἕκαϲτοϲ.

---

V. l. 164, 165, 167 ἔπ' EGH. — 166 ἀνδριφόντῃ DGHL Lips. 1. man. cf. Eust. 673, 52. — 168 ἀν CD. ἐν L. — 169 ἆρ EG. ἀρ A. γὰρ L. — 170 τοῖϲ δ' AHLS Cant. Harl. Townl. Vrat. b. c. A. Mosc. 1. 3. τοῖϲι δ' CDG. αὖθιϲ C. — 171 πεπάλαϲθε AG Mor. Lips. πεπάλαχθε C post ras. DEHLS Rhet. Gr. III, 226, 17. Schol. Pind. Ol. VII, 110. Eust. 809, 18. λάχῃϲι DG. — 172 οὗτοϲ: οὕτωϲ D. εὐκνήμιδαϲ DGHL. — 173 ὀνήϲειεν Vrat. A. φύγῃϲι ACDEGH — 174 πολέμου L. — 175 ὡϲ A. οἳ δὲ C. ἐϲημήναντο CGH. — 176 ἓν δ' A. δέβαλον D. — 177 θεοῖϲι δὲ C post ras. DE 674, 42 GL: θεοῖϲ· ἰδὲ AS Ven. B. Cant. Townl. Vrat. c. Mosc. 1. τὸ θεοῖϲι δὲ διαιρεθὲν γράφεται καὶ οὕτωϲ· „ἠρήϲαντο θεοῖϲ", εἶτα „ἰδὲ χεῖραϲ ἀνέϲχον" Eust. 674, 46. — 179 λαχεῖν: τυχεῖν L. — 181 ὡϲ A. ἆρ D. — 182 ἒκ A. καδδ' ἔθορε H. ὅν ῥ' C. ἆρ DEGL. ἀρ A. — 183 κῆρυξ ACEH: κήρυξ DGL. ἀν A. ἀνόμιλον D. ἁπάντῃ AE: ceteri ἁπάντη. — 185 οἳ δ' L. οἵδ' CH. γιγνώϲκοντεϲ L: γινώϲκοντεϲ ACDE bis GH. ἀπηνήναντο ACEGH.

---

A. c. 167 Εὐαἵμονοϲ Herodianus, ψιλῶϲ. — 171 οὕτωϲ ἀρίϲταρχοϲ καὶ ἡρωδιανὸϲ διὰ τοῦ ϲ̄ πεπάλαϲθε, οὐ διὰ τοῦ χ̄ Schol. A, oonf. Schol. et Eustath. ad ι 331. — 173 καὶ δ': καὶ δὴ? — 177 διχῶϲ καὶ θεοῖϲι δὲ καὶ θεοῖϲ ἰδὲ Schol. A. θεοῖϲι δὲ Alexio et Heracleo: θεοῖϲ ἰδὲ Ptolem. Ascalonita, conf. Γ 318. — 184 ἐνδέξια Herodianus, non ἐν δεξιᾷ, conf. Schol. ρ 365.

ἀλλ᾽ ὅτε δὴ τὸν ἵκανε φέρων ἀν᾽ ὅμιλον ἁπάντῃ,
ὅϲ μιν ἐπιγράψαϲ κυνέῃ βάλε, φαίδιμοϲ Αἴαϲ,
ἤ τοι ὑπέϲχεθε χεῖρ᾽, ὃ δ᾽ ἄρ᾽ ἔμβαλεν ἄγχι παραϲτάϲ,
γνῶ δὲ κλήρου ϲῆμα ἰδών, γήθηϲε δὲ θυμῷ.
τὸν μὲν πὰρ πόδ᾽ ἑὸν χαμάδιϲ βάλε φώνηϲέν τε·
ὦ φίλοι, ἦ τοι κλῆροϲ ἐμόϲ, χαίρω δὲ καὶ αὐτὸϲ
θυμῷ, ἐπεὶ δοκέω νικηϲέμεν Ἕκτορα δῖον.
ἀλλ᾽ ἄγετ᾽, ὄφρ᾽ ἂν ἐγὼ πολεμήια τεύχεα δύω,
τόφρ᾽ ὑμεῖϲ εὔχεϲθε Διὶ Κρονίωνι ἄνακτι
ϲιγῇ ἐφ᾽ ὑμείων, ἵνα μὴ Τρῶέϲ γε πύθωνται,
ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπηϲ·
οὐ γάρ τίϲ με βίῃ γε ἑκὼν ἀέκοντα δίηται,
οὐδέ τι ἰδρείῃ, ἐπεὶ οὐδ᾽ ἐμὲ νήιδά γ᾽ οὕτωϲ
ἔλπομαι ἐν Ϲαλαμῖνι γενέϲθαί τε τραφέμεν τε.
ὣϲ ἔφαθ᾽, οἳ δ᾽ εὔχοντο Διὶ Κρονίωνι ἄνακτι·
ὧδε δέ τιϲ εἴπεϲκεν ἰδὼν εἰϲ οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιϲτε, μέγιϲτε,
δὸϲ νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχοϲ ἀρέϲθαι·
εἰ δὲ καὶ Ἕκτορά περ φιλέειϲ καὶ κήδεαι αὐτοῦ,
ἴϲην ἀμφοτέροιϲι βίην καὶ κῦδοϲ ὄπαϲϲον.
ὣϲ ἄρ᾽ ἔφαν, Αἴαϲ δὲ κορύϲϲετο νώροπι χαλκῷ.

---

V. L. 186 δή ῥ᾽ ἵκανε A. ἁπάντῃ AE: ceteri ἀπάντη . ἀχαιῶν Vrat. b. 1. man. — 187 κυνέῃ: κυνέην L Et. Gud. 327, 37. — 188 ἤτει ὑπεϲχέθαι[ε] H. ὃ δ᾽ L. ὅδ᾽ GH. ἆρ DGL. ἔβαλεν GS. — 190 παρ A. — 191 ἦ τοι Et. Mg. 519, 12. ἤτοι μὲν κλῆροϲ ἐμοὶ G. — 195 τρῷεϲ L. γε πύθωνται: πεπύθωνται F Vrat. c. Mosc. 3. — 196 ἠὲ: ἠδὲ L. — 197 γάρ τῐϲ με H. ἑλὼν: γρ. ἑκὼν LS. ἀέκοντα A. — 198 οὐδέ τ᾽ ἀϊδρείῃ ACD ELS et libri apud Heynium cum Et. Mg. 42, 45. Apoll. Lex. 17, 3. Hesych. I, 73. οὐδέ γ᾽ ἀϊδρείῃ G. οὐδ᾽ ἐμὲ: οὐδέ με HL. οὕτωϲ: αὔτωϲ H. — 199 γενέϲθαί τε, τραφέμεν τε ACD. γενέϲθαί τε G Et. Gud. 244, 21. Cram. Ep. 187, 21. Cram. An. Par. III, 116, 26: vulgo γενέϲθαι τε, conf. ad γ 28. τετραφέμεν E 676, 7. — 200 ὡϲ A. οἵδ᾽ CGL. — 206 ὡϲ A. ἆρ ADG.

---

A. c. 186 διχῶϲ ἀλλ᾽ ὅτε δή ῥ᾽ ἵκοντο καὶ ἀλλ᾽ ὅτε δὴ τὸν ἵκανε Didymus. — 193 ἀρίϲταρχοϲ δύνω, ἄλλοι δὲ δύω Didymus. — 195—199 ϲτίχοι πέντε ἀθετοῦνται Aristonicus, conf. Didym. ad 198 ἠθέτηντο δὲ καὶ παρὰ Ἀριϲτοφάνει καὶ Ζηνοδότῳ. — 197 ἑκὼν: ἀρίϲταρχοϲ διὰ τοῦ λ̄ ἑλὼν Didymus. Ἀρίϲταρχοϲ καὶ αἱ πλείουϲ ἑλών Schol. A. — 198 διὰ τοῦ ῑ (οὐδέ τι ἰδρείῃ) εἶχον αἱ Ἀριϲτάρχου· ἡ δὲ Ἀριϲτοφάνουϲ οὐδὲ μὲν ἰδρείῃ Didymus. ἀϊδρείῃ, τῇ πολυπειρίᾳ, ἐπιτάϲει τοῦ ᾱ Schol. BL. οὐδ᾽ ἐμὲ, non οὐδέ με, Herodianus. — 199 γενέϲθαί τε Herodianus, conf. H. T. 413.

αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ ἕccατο τεύχεα,
cεύατ' ἔπειθ' οἷόc τε πελώριοc ἔρχεται Ἄρηc,
ὅc τ' εἶcιν πόλεμον δὲ μετ' ἀνέραc, οὕc τε Κρονίων
θυμοβόρου ἔριδοc μένεϊ ξυνέηκε μάχεcθαι.
τοῖοc ἄρ' Αἴαc ὦρτο πελώριοc, ἕρκοc Ἀχαιῶν,
μειδιόων βλοcυροῖcι προcώπαcι· νέρθε δὲ ποccὶν
ἤιε μακρὰ βιβάc, κραδάων δολιχόcκιον ἔγχοc.
τὸν δὲ καὶ Ἀργεῖοι μὲν ἐγήθεον εἰcορόωντεc,
Τρῶαc δὲ τρόμοc αἰνὸc ὑπήλυθε γυῖα ἕκαcτον,
Ἕκτορί τ' αὐτῷ θυμὸc ἐνὶ cτήθεccι πάταccεν·
ἀλλ' οὔ πωc ἔτι εἶχεν ὑποτρέcαι οὐδ' ἀναδῦναι
ἂψ λαῶν ἐc ὅμιλον, ἐπεὶ προκαλέccατο χάρμῃ.
Αἴαc δ' ἐγγύθεν ἦλθε φέρων cάκοc ἠύτε πύργον,
χάλκεον ἑπταβόειον, ὅ οἱ Τυχίοc κάμε τεύχων,
cκυτοτόμων ὄχ' ἄριcτοc, Ὕλῃ ἔνι οἰκία ναίων·
ὅc οἱ ἐποίηcεν cάκοc αἰόλον ἑπταβόειον
ταύρων ζατρεφέων, ἐπὶ δ' ὄγδοον ἤλαcε χαλκόν.
τὸ πρόcθε cτέρνοιο φέρων Τελαμώνιοc Αἴαc
cτῆ ῥα μάλ' Ἕκτοροc ἐγγύc, ἀπειλήcαc δὲ προcηύδα·
Ἕκτορ, νῦν μὲν δὴ cάφα εἴcεαι οἰόθεν οἶοc,
οἷοι καὶ Δαναοῖcιν ἀριcτῆεc μετέαcι
καὶ μετ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.

---

V. l. 207 τεύχεα: τεύχη CDEGHLS. τεύχη (superscr. εα) A. — 208 τε omitt. D. — 209 πόλεμον δὲ ADH. — 210 ξυνέηκε A. — 211 ἄρ DEG. ἀρ A. — 212 προcώπαcι: προcώποιc L. προcώποιcι DG Vrat. b. A. ποccὶ D. — 213 βιβὰc libri omnes. — 214 τόνδε GL. μὲν: μέγ' ACDGLS. μέγα E 676, 49; 677, 56. — 215 τρῷαc L. τρώων G. δὲ: μὲν Pseudoplut. 138, 49. ὑπήλυθε: ἐπήλυθε Plutarchus de Aud. poët. 10. ὑπῆλθεν Eust. 677, 57 et 61. ὑπείληφε Eust. 676, 50. ἕκαcτον: ἑκάcτου DG Vrat. A. pro emendatione. — 216 ἐνι AD. ἐν cτήθεcφι Barocc. Mor. — 218 λαὸν L. καλέccατο H. — 219 πῦργον L. — 220 ἑπταβόειον A. ὅ, οἱ CG. τύχιοc D. κάμε τέκτων Cant. — 221 ἐνὶ CDGHL. ἔνι A Apoll. Lex. 157, 16. — 222 ἐποίηcε CEGL. ἑπταβόειον A. — 224 πρόcθε ADEL. τὸ, πρόcθεν CGH. — 225 ῥὰ DL. — 226 ἕκτωρ H. — 227 μετέαcι ACEG. — 228 ἀχιλῆα CG.

---

A. c. 207 τεύχεα, conf. H. U. 146. — 213 οὕτωc ἀρίcταρχοc βιβάc Didymus, conf. H. T. 215. — 214 ἀρίcταρχοc τὸν δὲ καὶ ἀργεῖοι μὲν ἐγήθεον Didymus. — 221 Ὕλῃ: οὐδ' ἐνταῦθα εὖ γράφουcί τινεc „Ὕδῃ ἔνι“· οὐ γὰρ ὁ Αἴαc ἐκ Λυδίαc τὸ cάκοc μετεπέμπετο Strabo IX, 408; conf. XIII, 626, Eust. 267, 18; 678, 12.

ἀλλ᾽ ὃ μὲν ἐν νήεϲϲι κορωνίϲι ποντοπόροιϲι
κεῖτ᾽ ἀπομηνίϲαϲ Ἀγαμέμνονι, ποιμένι λαῶν·
ἡμεῖϲ δ᾽ εἰμὲν τοῖοι, οἳ ἂν ϲέθεν ἀντιάϲαιμεν,
καὶ πολέεϲ. ἀλλ᾽ ἄρχε μάχηϲ ἠδὲ πτολέμοιο.
τὸν δ᾽ αὖτε προϲέειπε μέγαϲ κορυθαίολοϲ Ἕκτωρ·
Αἶαν διογενὲϲ Τελαμώνιε, κοίρανε λαῶν,
μή τί μευ ἠΰτε παιδὸϲ ἀφαυροῦ πειρήτιζε
ἠὲ γυναικόϲ, ἣ οὐκ οἶδεν πολεμήια ἔργα.
αὐτὰρ ἐγὼν εὖ οἶδα μάχαϲ τ᾽ ἀνδροκταϲίαϲ τε·
οἶδ᾽ ἐπὶ δεξιά, οἶδ᾽ ἐπ᾽ ἀριϲτερὰ νωμῆϲαι βῶν
ἀζαλέην, τό μοι ἔϲτι ταλαύρινον πολεμίζειν·
οἶδα δ᾽ ἐπαΐξαι μόθον ἵππων ὠκειάων·
οἶδα δ᾽ ἐνὶ ϲταδίῃ δηίῳ μέλπεϲθαι Ἄρηι.
ἀλλ᾽ οὐ γάρ ϲ᾽ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα
λάθρῃ ὀπιπεύϲαϲ, ἀλλ᾽ ἀμφαδόν, αἴ κε τύχωμι.
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόϲκιον ἔγχοϲ,
καὶ βάλεν Αἴαντοϲ δεινὸν ϲάκοϲ ἑπταβόειον
ἀκρότατον κατὰ χαλκόν, ὃϲ ὄγδοοϲ ἦεν ἐπ᾽ αὐτῷ.

---

V. l. 229 ποντοπόροιϲι ACDEGH. — 230 κεῖται μηνίϲαϲ G. — 231 εἰμὲν τοι οἵ H. γρ. τοὶ οἵ Vrat. b. — 232 πολέμοιο D. — 233 κορυθαιόλοϲ D. — 234 habet A in margine. αἶαν ἁμαρτοεπὲϲ βουγάϊε ποῖον ἔειπεϲ S Cant. Vrat. A. hic versus legitur N 824. — 235 μή τί AE Schol. A 522, Z 465. μεῦ H. — 236 οἶδε DG. — 238 οἶδ᾽ ἐπὶ: ἠδ᾽ ἐπ᾽ Schol. C 514. ἠδ᾽ ἐπὶ D post ras. οἶδ᾽ ἐπ᾽: ἠδ᾽ ἐπ᾽ D ex corr. LS Cant. Vrat. A. Schol. C 514. τινὲϲ πειρῶνται μεταγράψαι „ἠδ᾽ ἐπὶ δεξιὰ ἠδ᾽ ἐπ᾽ ἀριϲτερὰ" Eust. 678, 52. βῶν ACDEGHS Apoll. Lex. 53, 25. Et. Mg. 608, 21. Zonar. Lex. 414. Hesych. III, 166. Cram. An. Ox. II, 328, 10; 420, 25; IV, 415, 28. Bekk. An. 654, 14. Schol. C 514. βοῶν Cram. An. Ox. II, 399, 3. βοῦν L Et. Mg. 204, 5. Zonar. Lex. 55. — 239 ἀζαλέην· τό AC. τό μοι ἐϲτὶ ACDGHL Eust. 1160, 8: τό μοί ἐϲτι E Apoll. Lex. 11, 24. Schol. C 514. ταλαύρηνον G Mor. — 240 libri ἐπαΐξαι cum Et. Gud. 396, 39; Bekk. Anecd. 654, 16. ἐπαῖξαι. γρ. καὶ ἐπαΐξειν A. hic versus in Cod. D et apud Eust. post 241 est collocatus. — 241 ἐνι D. ἐν E. ϲταδίῳ (η suprascr.) S. ϲταδίῳ Cant. — 242 ϲε θέλω DH Schol. Λ 612. τοιοῦτον: τοῖον περ L. — 243 ὀπιπεύϲαϲ ACD: ὀπιπτεύϲαϲ EGHLS. τύχωμι AH Mor. Townl. τύχοιμι CDE bis GLS. γρ. δὲ καὶ τύχῳμι E 679, 41. τύχωμαι Et. Mg. 88, 35. — 244 ῥὰ CDGL.

---

A. c. 230 ἀπομηνίϲαϲ: Ἀρίϲταρχοϲ ἐπιμηνίϲαϲ Schol. V. conf. H. T. 199. — 238 οὕτωϲ ἀρίϲταρχοϲ βῶν ἀντὶ τοῦ ἀϲπίδα Didymus. Aristophanes βοῦν. τινὲϲ (Herodianus teste Schol. V) ἔξω τοῦ $\overline{ν}$ βῶ, καὶ μήποτε πιθανῶϲ Didymus. ἐν τοῖϲ παλαιοῖϲ ἐγέγραπτο ΒΟΝ, ὅπερ οὐκ ἐνόηϲαν οἱ διορθωταί Schol. V. — 239 τό μοί ἐϲτι Aristarchus, conf. H. S. pg. 74. Eust. 679, 26 explicat διό μοι ἐϲτί. — 241 δηίῳ: δηίων Aristarchus. — 243 τύχωμι, conf. H. U. 250.

ἐξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής·
ἐν τῇ δ' ἑβδομάτῃ ῥινῷ σχέτο. δεύτερος αὖτε
Αἴας διογενὴς προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλε Πριαμίδαο κατ' ἀσπίδα πάντοσ' ἐίσην.
διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος,
καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο·
ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα
ἔγχος· ὃ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν.
τὼ δ' ἐκσπασσαμένω δολίχ' ἔγχεα χερσὶν ἅμ' ἄμφω
σύν ῥ' ἔπεσον λείουσιν ἐοικότες ὠμοφάγοισιν,
ἢ συσὶ κάπροισιν, τῶν τε σθένος οὐκ ἀλαπαδνόν.
Πριαμίδης μὲν ἔπειτα μέσον σάκος οὔτασε δουρί,
οὐδ' ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμή.
Αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος· ἣ δὲ διὰ πρὸ
ἤλυθεν ἐγχείη, στυφέλιξε δέ μιν μεμαῶτα,
τμήδην δ' αὐχέν' ἐπῆλθε, μέλαν δ' ἀνεκήκιεν αἷμα.
ἀλλ' οὐδ' ὧς ἀπέληγε μάχης κορυθαίολος Ἕκτωρ,
ἀλλ' ἀναχασσάμενος λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε·
τῷ βάλεν Αἴαντος δεινὸν σάκος ἑπταβόειον
μέσσον ἐπομφάλιον· περιήχησεν δ' ἄρα χαλκός.
δεύτερος αὖτ' Αἴας πολὺ μείζονα λᾶαν ἀείρας
ἧκ' ἐπιδινήσας, ἐπέρεισε δὲ ἶν' ἀπέλεθρον,
εἴσω δ' ἀσπίδ' ἔαξε βαλὼν μυλοειδέι πέτρῳ,
βλάψε δέ οἱ φίλα γούναθ'· ὃ δ' ὕπτιος ἐξετανύσθη
ἀσπίδι ἐγχριμφθείς· τὸν δ' αἶψ' ὤρθωσεν Ἀπόλλων.

V. l. 247 δια A. — 248 ἑβδομάτῃ δὲ ῥινῷ H. — 250 βάλλε D. πάντοσε ἴσην CHS. πάντοσ'ε ἴσην D. πάντοσε ἴσην A. — 251 ὄμβριμον CGH. — 254 ὃ δ' D. ὅδ' CGL. — 255 ἐκσπασαμένω GHL. ἐκσπασάμενοι E. — 257 ἢ A. κάπροισι CDEG. — 259 ἔρρηξε GL 2. man. Townl. χαλκὸς S Townl.: χαλκὸν ACDEGHL. ἀνεγνάφθη G Mor. ἀνεγνάμφη Lips. — 260 ἣ δὲ C. διὰ πρὸ L: ceteri διαπρὸ. — 262 τυδείδην D et man. rec. γρ. τμήδην. ἀνακήκιεν Schol. Soph. Phil. 697. — 263 ὥς A: ceteri ὧς. κορυθαίολος A. — 264 ἀναχασάμενος E. — 265 τραχύν G. — 267 ἐπὸμ-φάλιον A. ἐπ' ὀμφάλιον G Cant. Mor. Vrat. A. Mosc. 1. περιήχησε DEG. — 268 δεύτερον H. λάαν G. — 269 ἐπέρησε A. — 271 ὅδ' CGHL. — 272 ἀσπίδι ἐγχριμφθείς ACEGHLS. ἐγχριφθείς D: ἀσπίδ' ἐνιχριμφθείς Mor.

A. c. 256, 257 τοὺς στίχους τούτους οὐ προσίενται ἔνιοι, ὥσπερ οὐδὲ Ζηνόδοτος Schol. A. — 259 ἀρίσταρχος διὰ τοῦ ͞σ χαλκός Didymus, conf. Γ 348, Ρ 44. — 272 ἀρίσταρχος ἀσπίδ' ἐνιχριμφθείς Didymus, conf. H. U. 127. αἶψ': οὕτως Ἀρίσταρχος, οὐκ ἄψ Schol. V.

καί νύ κε δὴ ξιφέεςς' αὐτοςχεδὸν οὐτάζοντο,
εἰ μὴ κήρυκες, Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
ἦλθον, ὃ μὲν Τρώων, ὃ δ' Ἀχαιῶν χαλκοχιτώνων,
Ταλθύβιός τε καὶ Ἰδαῖος, πεπνυμένω ἄμφω·
μέςςῳ δ' ἀμφοτέρων ςκῆπτρα ςχέθον, εἶπέ τε μῦθον
κῆρυξ Ἰδαῖος, πεπνυμένα μήδεα εἰδώς·
μηκέτι παῖδε φίλω πολεμίζετε, μηδὲ μάχεςθον·
ἀμφοτέρω γὰρ ςφῶι φιλεῖ νεφεληγερέτα Ζεύς·
ἄμφω δ' αἰχμητά· τό γε δὴ καὶ ἴδμεν ἅπαντες.
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέςθαι.
τὸν δ' ἀπαμειβόμενος προςέφη Τελαμώνιος Αἴας·
Ἰδαῖ', Ἕκτορα ταῦτα κελεύετε μυθήςαςθαι·
αὐτὸς γὰρ χάρμῃ προκαλέςςατο πάντας ἀρίςτους.
ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείςομαι ᾗ περ ἂν οὗτος.
τὸν δ' αὖτε προςέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε
καὶ πινυτήν, περὶ δ' ἔγχει Ἀχαιῶν φέρτατός ἐςςι,
νῦν μὲν παυςώμεςθα μάχης καὶ δηιοτῆτος
ςήμερον· ὕςτερον αὖτε μαχηςόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροιςί γε νίκην·
νὺξ δ' ἤδη τελέθει· ἀγαθὸν καὶ νυκτὶ πιθέςθαι·
ὡς ςύ τ' εὐφρήνῃς πάντας παρὰ νηυςὶν Ἀχαιούς,
ςούς τε μάλιςτα ἔτας καὶ ἑταίρους, οἵ τοι ἔαςιν·
αὐτὰρ ἐγὼ κατὰ ἄςτυ μέγα Πριάμοιο ἄνακτος

V. l. 273 ξιφέεςςι G. — 275 τρῴων GL. ὅδ' CHL. — 277 μέςςον Harl. μέςςοι E. ἀμφοτέρω Mosc. 1. — 278 κῆρυξ ACGH: κήρυξ DL. — 279 μὴ κέ τι CD. μὴ δὲ CDGHL. μάχεςθε Barocc. Mor. Gellius XIII, 25, 18. μάχεςθαι L. — 280 ςφῶι: ςφῶε H. — 281 αἰχμηταὶ G Barocc. Mor. — 282 δ' omitt. H. — 284 ἕκτορα ACDLS: ἕκτορι EGH Lips. Ven. B. — 285 αὐτὸς: οὗτος EL. ἐν ἄλλῳ οὗτος γὰρ A. γὰρ: δὲ G 1. man. δὴ G ex corr. — 286 ᾗπερ ACD Townl.: εἴπερ GHLS. — 287 κορυθαιόλος D. — 289 ἔγχεϊ EGL. φέρτατος: φέρτερος D. — 290 νῦν μὲν παύςωμεν πόλεμον καὶ δηϊοτῆτα G (πολέμου) Barocc. Harl. (νὼ μὲν) Townl. ἐν ἄλλῳ νῦν μὲν παύςωμεν πόλεμον καὶ δηϊοτῆτα A. — 291 δ' αὖτε D. — 292 δώῃ EGH. δώη CL. δῴη AS. δώιηι D. — 294 εὐφρήνῃς CEL. εὐφρῄνῃς H. εὐφράνῃς G Mor. τε εὐφρήνῃς Eust. 1121, 20. ἀχαιοὺς: ἀχαιῶν G. — 295 οἵ ςοι G. οἵ τ' ἔαςιν D.

A. c. 280 ςφῶι: ςφῶε Ixion teste Apollon. de Pronom. 114 A. — 282 asteriscus: κακῶς 293. — 289 πινυτήν Aristarchus ὀξυτόνως. — 293 obelus cum asterisco: ὀρθῶς 282. — 295 ἀθετεῖται Aristonicus.

Τρῶας ἐυφρανέω καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα.
δῶρα δ' ἄγ' ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω,
ὄφρά τις ὧδ' εἴπῃσιν Ἀχαιῶν τε Τρώων τε·
ἠμὲν ἐμαρνάσθην ἔριδος πέρι θυμοβόροιο,
ἠδ' αὖτ' ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε.
ὣς ἄρα φωνήσας δῶκε ξίφος ἀργυρόηλον
σὺν κολεῷ τε φέρων καὶ ἐυτμήτῳ τελαμῶνι·
Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν.
τὼ δὲ διακρινθέντε ὁ μὲν μετὰ λαὸν Ἀχαιῶν
ἤϊ', ὁ δ' ἐς Τρώων ὅμαδον κίε. τοὶ δὲ χάρησαν,
ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα,
Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους·
καί ῥ' ἦγον προτὶ ἄστυ ἀελπτέοντες σόον εἶναι.
Αἴαντ' αὖθ' ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
εἰς Ἀγαμέμνονα δῖον ἄγον, κεχαρηότα νίκῃ.
οἳ δ' ὅτε δὴ κλισίῃσιν ἐν Ἀτρείδαο γένοντο,
τοῖσι δὲ βοῦν ἱέρευσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἄρσενα πενταέτηρον ὑπερμενέι Κρονίωνι.
τὸν δέρον ἀμφί θ' ἕπον, καί μιν διέχευαν ἅπαντα.

---

V. l. 297 τρῶας τ' C. εὐφρανέω CGHL. τρωιάδας A. τρωϊάδας CDGHL Townl. Vrat. b. c. ἑλκεσιπέπλους A. — 298 αἵ τέ μοι CDHL. δύσσονται G. — 299 δῶρα δ' ἄμ' G Mor. δῶρα δέ γ' Harl. Lips. δέ γ' et δ' ἄγ' E 682, 18. ἄγ' omitt. D 1. man. H. — 300 ὄφρά τις ACL. τίς G. τρῴων G. εἴπηισιν καὶ αἰῶν χαλκοχιτώνων D et suprascr. χαιῶν τε τρώων τε. — 301 ἤ μὲν DEGLS Et. Mg. 141, 31. περὶ DGH. περι A. θυμοβόροιο A. — 302 ἤ δ' A. αὖτε φιλότητι S. ἠδὲ καὶ αὖ φιλότητι Et. Mg. 141, 31. διέτμαγον Mosc. 1. ἀρθμήσαντε ACEHL Et. Mg. 141, 31: ἀρθμήσαντες D Vrat. b. ἁρμοσθέντε G e glossa, conf. Schol. B. — 303 ὡς A. ἐϋτμήτω A. ἐυδμήτῳ E. εὐδμήτῳ G. — 306 οἱ δὲ διακρινθέντες E. διακριθέντε CGHL Lips. Townl. διακρινθέντες Pseudoplut. 116, 16. ὃ μὲν C. — 307 ἤϊε D. ἦϊ' G. ὅδ' CGL. ὁ δὲ τρώων H. τρῴων L. ὅμαδον G. * δὲ χάρησαν: libri δ' ἐχάρησαν. — 309 ἀἅπτους A. — 310 καί ῥ': καὶ δὴ E. ἀέλποντες G. ἀελπέοντες Hesych. I, 54. σόον: σῶον D Barocc. Mor. σῷον G. — 311 εὐκνήμιδες DGL. — 312 ἄγων D. ἆγον G. κεχαρηότα: κεκαφηότα Et. Mg. 492, 8 diserte. — 313 οἵδ' CL. — 315 ὑπερμενέϊ C. — 316 ἀμφὶ δ' Schol. μ 209. διέχευον (α suprascr.) A, conf. τ 421, Γ 270.

---

A. c. 298 δύσονται: γρ. δὲ καὶ θύονται, ὡς Ἡρωδιανός Schol. BL. — 304 ἐϋτμήτῳ: ἀρίσταρχος διὰ τοῦ κ̄ ἐϋκμήτωι Didymus. — 310 σόον, conf. Schol, I 681, Π 252.

μίστυλλόν τ' ἄρ' ἐπισταμένως πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα,
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.
νώτοισιν δ' Αἴαντα διηνεκέεσσι γέραιρεν
ἥρως Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖς ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πολλοὶ γὰρ τεθνᾶσι κάρη κομόωντες Ἀχαιοί,
τῶν νῦν αἷμα κελαινὸν ἐύρροον ἀμφὶ Σκάμανδρον
ἐσκέδασ' ὀξὺς Ἄρης, ψυχαὶ δ' Ἄϊδος δὲ κατῆλθον·
τῷ σε χρὴ πόλεμον μὲν ἅμ' ἠοῖ παῦσαι Ἀχαιῶν,
αὐτοὶ δ' ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς
βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακήομεν αὐτοὺς
τυτθὸν ἀπὸ πρὸ νεῶν, ὥς κ' ὀστέα παισὶν ἕκαστος
οἴκαδ' ἄγῃ, ὅτ' ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν.
τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου· ποτὶ δ' αὐτὸν δείμομεν ὦκα

V. L. 317 μῖστῦλον δ' H. ἂρ DGL. ὰρ A. — 320 οὐδ' ἔτι A. — 321 νώτοισι E. — 322 εὐρὺ κρείων A: ceteri εὐρυκρείων. — 323 ἕντο L. ἔντο DGH. — 324 τοῖς δ' Eust. 1850, 19. πάμπρωτον Plut. Quaest. conviv. VII, 9, 1. ἤρξατο Eust. 1275, 61. μύθῳ Vrat. b. μῦθον Eust. 1850, 19. μύθους Et. Mg. 785, 32, conf. Ι 93. — 326 ὅ, σφιν C. ὅς σφιν GL. ἔϋ φρονέων A. εὖ φρονέων CDEGHLS. ἐϋφρονέων nullus. — 327 ἀτρείδη (αι) A. ἀτρεῖδαί CGH Barocc. Mor. Harl. παναριστῆες ἀχαιῶν L. παναχαιῶν A. — 328 γὰρ: μὲν S Cant. Mor. μὲν γὰρ G Harl. δὴ Vrat. b. 1. man. κάρη κομόωντες A: ceteri καρηκομόωντες. — 329 κάμανδρον L Harl. — 330 ἄϊδος δὲ ADH. — 331 τῶ ACL. τῷ DEH. τώ G. γε χρὴ H. — 332 νεκροὺς: πάντας Et. Mg. 544, 24. — 333 ἡμιόνοισι H. κατακείομεν ACDEHL Lips. Harl. Townl. Vrat. b. Mosc. 1. — 334 ἀπὸ πρὸ A. ἄπο πρὸ CDH. ἄπο προ S. ἀπόπρο GL Mor. ἀποπρὸ Cant. ἄπο πρὸ ἢ μᾶλλον ἀπόπρο E. — 335 ἄγει Schol. Ϲ 332. ὅταν CG. — 336 τύμβον δ' ἐκ πεδίου ἵνα χεύομεν Pseudoplut 156, 8. — 337 ἐκ πεδίου ACDGHLS Cant. Mor. Harl. Lips. Vrat. b. c. A. Mosc. 1. 3. ἐκ πεδίου ἢ μάλιστα ἐν πεδίῳ E 683, 34. προτὶ L.

A. c. 334 ἀπὸ πρὸ Herodianus: ἄπο πρὸ Aristarchus. — 334, 335 ἀθετοῦνται Aristonicus, conf. Schol. Δ 174, Ϲ 332. — 336 ἀρίσταρχος διὰ τοῦ τ̄ τύμβον τ' ἀμφι Didymus. — 337 ἐκ πεδίου: ἐν πεδίῳ Aristophanes, conf. ad 436.

πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καί αὐτῶν,
ἐν δ' αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον,
ἥ χ' ἵππους καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα,
μή ποτ' ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπήνησαν βασιλῆες.
Τρώων αὖτ' ἀγορὴ γένετ' Ἰλίου ἐν πόλει ἄκρῃ,
δεινή, τετρηχυῖα, παρὰ Πριάμοιο θύρῃσι.
τοῖσιν δ' Ἀντήνωρ πεπνυμένος ἦρχ' ἀγορεύειν·
κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
δεῦτ' ἄγετ', Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ
δώομεν Ἀτρείδῃσιν ἄγειν· νῦν δ' ὅρκια πιστὰ
ψευσάμενοι μαχόμεσθα· τῶ οὔ νύ τι κέρδιον ἧμιν
ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξομεν ὧδε.
ἦ τοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠυκόμοιο,
ὅς μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις·
οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.
εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις,

---

V. L. 338 εἶλαρ H. αὑτῶν D ex corr. — 339 ἓν A. — 340 εἴη libri et Eustathius. — 342 ᾗχ' Townl. Mosc. 1. 3. ἵππους E: ἵππον ACDGHL Barocc. Mor. Harl. Townl. Lips. Vrat. c. Mosc. 1. 3. ἵππονους S, i. e. ἵππον^ους. ἀντὶ τοῦ ἵππους D in margine. ἀμφὶς ἔουσα: γράφεται ἀμφὶς ἔχουσα V. — 343 ἐπιβρήσῃ DG. τρῴων L. — 344 ὡς A. οἵδ' CL. ὅδ' H. ἐπήνεσαν DGH. — 345 δ' αὖτ' DG. — 346 δεινή τε τραχεῖα G Mor. τε τρηχεῖα H. θύρῃσι ACDGH. ἑστίῃσιν S. ἑστίῃσι Cant. et suprascr. θύρῃσι. — 347 τοῖσι GH Lips. τοῖσι δὴ αὖτ' Vrat. b. ἀντίον ηὔδα A et γρ. ἦρχ' ἀγορεύειν. — 348 τρῷες L. — 349 ἐνι A. ἐνὶ στήθεσσιν ἀνώγει D Vrat. b. 1. man. — 351 Ἀτρείδῃσιν: ἀργείοισιν Harl. νῦν: γρ. μὴ C man. rec. ὅρκια D. — 352 τῶ ACDL: τῷ EH. μαχόμεθα τώ οὔ νύ τοι G. οὔ νύ τῒ H. ἧμιν AD. ἡμῖν ἢ ἧμιν E 684, 50. — 354 ὡς A. ἂρ GL. ἀρ A. καταρέζετο CDH. — 357 ἀντήνωρ D. τάδ' H et sup. ταῦτ'. — 358 ἀμείνονα: ἀμύμονα Townl. — 359 ἀγορεύῃς G.

---

A. c. 340 εἴη: εἴῃ G. Hermannus ad Vigerum 906. idem Opusc. II, 32 inter εἴῃ et ἤῃ haesitat; sed legitima forma coniunctivi est ἤῃ, producto ε̄ in η̄, ut ἀνήῃ, θήῃ, σαπήῃ, φανήῃ. — 353 ἀθετεῖται Aristonicus. ἀρίσταρχος ἐκτελέεσθαι ἵνα ἂν μὴ Didymus. scripsit Aristarchus ἵν' ἄν, non ἐκτελέεσθ' ἵνα ἄν. — 359 εἰ δ' ἐτεὸν: οὕτως ἀρίσταρχος ἄλλοι δίχα τοῦ δ̄ εἰ ἐτεὸν Didymus.

ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί.
αὐτὰρ ἐγὼ Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω.
ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω·
κτήματα δ', ὅσσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ,
πάντ' ἐθέλω δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι.
ἦ τοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Δαρδανίδης Πρίαμος, θεόφιν μήστωρ ἀτάλαντος,
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπε·
[κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.]
νῦν μὲν δόρπον ἕλεσθε κατὰ πτόλιν, ὡς τὸ πάρος περ,
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
ἠῶθεν δ' Ἰδαῖος ἴτω κοίλας ἐπὶ νῆας
εἰπέμεν Ἀτρείδῃς, Ἀγαμέμνονι καὶ Μενελάῳ,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
καὶ δὲ τόδ' εἰπέμεναι πυκινὸν ἔπος, αἴ κ' ἐθέλωσι
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.
ὣς ἔφαθ', οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο,
[δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσιν.]
ἠῶθεν δ' Ἰδαῖος ἔβη κοίλας ἐπὶ νῆας.
τοὺς δ' εὗρ' εἰν ἀγορῇ Δαναούς, θεράποντας Ἄρηος,
νηὶ πάρα πρυμνῇ Ἀγαμέμνονος· αὐτὰρ ὁ τοῖσι
στὰς ἐν μέσσοισιν μετεφώνεεν ἠπύτα κῆρυξ·

---

V. l. 361 τρώεσσι L. ἀγορεύω Lips. — 362 ἀπόφημι A. — 364 ἐπιθεῖναι: ἐπιδοῦναι Eust. 1335, 50. — 365 ὡς A. κατὰρ A. ἂρ GL. καταρέζετο CDH. — 367 ὅ, σφιν C. ὅς σφιν GL. ἔϋ φρονέων A. εὖ φρονέων CDEGHLS, conf. 326. μετέειπε C. — 368, 369 omitt. AH. ἐν ἄλλῳ καὶ ἐνταῦθα οὗτοι οἱ στίχοι (368, 369) κεῖνται A in margine. — 368 τρῷες L. — 370 κατὰ πτόλιν ACDGL Barocc. Vrat. c. A. Mosc. 1. 3. κατὰ πόλιν Mor. Vrat. b. κατὰ στρατὸν EHS Cant. γρ. καταστρατὸν A. τοπάρος G. — 372 κοίλας ἐπὶ νῆας ἀχαιῶν HL. — 373 ἀτρείδῃς' DL. ἀτρείδῃσιν G. — 374 ἀλεξάνδρου G. ὄρωρε ACG. — 375 αἴ κ' ἐθέλωσι ACDEGHL. αἴκε θέλωσι S Cant. Vrat. b. — 376 παύσεσθαι Vrat. b. — 377 κείομεν ACDH Mor. Barocc. Townl. Lips. Mosc. 1. κῄομεν L. μαχησόμεθ' ACDHLS: μαχεσσόμεθ' EG Mor. Barocc. — 378 δώῃ GH. δώη CL. δῴη AES. δώιηι D. — 379 ὡς A. οἵδ' CGL. * ἠδὲ πίθοντο: libri ἠδ' ἐπίθοντο. — 380 omitt. AD 1. man. L: habent CD in marg. man. rec. EGHS cum aliis. ἐν ἄλλῳ καὶ οὗτος ὁ στίχος A in margine. ἕλοντο C. — 382 εἰν: ἐν D. — 383 παρὰ CDGHL. παρα A. πρυμνῇ Schol. A 490: πρύμνῃ libri. ὃ ACDGHL. τοῖσι ACDGH. — 384 μέσσοισϊ CDG. κῆρυξ L.

Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
ἠνώγει Πρίαμός τε καὶ ἄλλοι Τρῶες ἀγαυοὶ
εἰπεῖν, αἴ κέ περ ὔμμι φίλον καὶ ἡδὺ γένοιτο,
μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρε·
κτήματα μέν, ὅσ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίην δ', ὡς πρὶν ὤφελλ' ἀπολέσθαι,
πάντ' ἐθέλει δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι·
κουριδίην δ' ἄλοχον Μενελάου κυδαλίμοιο
οὔ φησιν δώσειν· ἦ μὴν Τρῶές γε κέλονται.
καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔπος, αἴ κ' ἐθέλητε
παύσασθαι πολέμοιο δυσηχέος, εἰς ὅ κε νεκροὺς
κήομεν· ὕστερον αὖτε μαχησόμεθ', εἰς ὅ κε δαίμων
ἄμμε διακρίνῃ, δώῃ δ' ἑτέροισί γε νίκην.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
ὀψὲ δὲ δὴ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω
μήθ' Ἑλένην· γνωτὸν δὲ καὶ ὃς μάλα νήπιός ἐστιν,
ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται.
ὣς ἔφαθ', οἳ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν

---

V. L. 385 habet A in margine. ἀτρείδη ACDH Harl. Townl. Vrat. b. Mosc. 1. ἀτρείδα Mor. ἀτρεῖδαι GLS. τὲ καὶ CH. ἀριστῆες παναχαιῶν ACGHS Mor. Cant. Barocc. Lips. εὐκνήμιδες ἀχαιοί DL. ἐϋκνήμιδες ἀχαιοί Vrat. b. c. Mosc. 1. 3. pro var. lect. — 386 τρῷες L. — 387 εἰπέμεν C. αἴ κε περ AL. αἴ κέν πως G. ὔμμι AD. — 388 ὄρωρε ACGH. — 389 ὅσσ' AH. κοίλαις G. ἐνι A. νηυσὶ D. — 390 τροίηνδε L. ὄφελλ' DL. — 391 δόμεναι: δώσειν E. — 393 οὐ φησὶν AD. οὔ φησὶν H. οὔ φησι E. ἦ μὴν ACGHL Cant. Harl. Townl.: ἦ μιν DES. τρῷες L. — 394 ἠνώγεον ACDGHLS Schol. O 725. ἠνώγειον Schol. Π 8. ἠνώγην Mor. vulgo ἠνώγειν. κε θέλητε D. — 395 παῦσαι δὴ πολέμοιο G. δυσηχέος A. — 396 κείομεν ACDH Lips. Vrat. b. κῄομεν GL. μαχεσσόμεθ' Mor. Barocc. — 397 δώῃ H. δώη CL. δῴη ADS. — 398 ὡς A. οἵδ' CGL. ἀκῆν G. — 400 μὴ γάρ τις GH Barocc. Mor. μητάρ τις D. — 401 γνώτω δὲ G. ἐστι C. ἐστὶ G. — 402 τρῴεσσιν L. — 403 ὡς A. οἳ δ' E. οἵδ' CGL.

---

A. c. 393 οὕτως ἦ μὴν (non ἦ μιν) Didymus. ita etiam Herodianus, qui comparat B 291 ἦ μὴν καὶ πόνος ἐστίν. — 394 ἠνώγεον librorum optimorum et Schol V ad Π 8 firmatur auctoritate, neque ulla est causa cur ab his recedamus et praesens ἀνωγέω pro grammaticorum commento habeamus. ut enim a γέγωνα invenitur imperfectum ἐγεγώνει, ἐγεγώνεον, γέγωνε (vid. H. T. 217), ita ab ἄνωγα ἠνώγει, ἠνώγεον, ἄνωγε. de ἠνώγεον olim dubitavi (H. T. 194), nunc in tanto librorum consensu dubitatio nulla potest esse. — 396 κείομεν, conf. H. U. 159. — 398, 399 ὁ ἀστερίσκος, ὅτι ἐντεῦθεν μετάκεινται εἰς τὴν ἀποπρεσβείαν (I 693 et 696) Aristonicus. — 396 ἀρίσταρχος τεθνηιώτων, ἄλλοι δὲ τεθνειώτων Didymus.

μῦθον ἀγαςςάμενοι Διομήδεος ἱπποδάμοιο.
καὶ τότ' ἄρ' Ἰδαῖον προςέφη κρείων Ἀγαμέμνων·
Ἰδαῖ', ἦ τοι μῦθον Ἀχαιῶν αὐτὸς ἀκούεις,
ὥς τοι ὑποκρίνονται· ἐμοὶ δ' ἐπιανδάνει οὕτως.
ἀμφὶ δὲ νεκροῖςιν κατακαιέμεν οὔ τι μεγαίρω·
οὐ γάρ τις φειδὼ νεκύων κατατεθνηώτων
γίγνετ', ἐπεί κε θάνωςι, πυρὸς μειλιςςέμεν ὦκα.
ὅρκια δὲ Ζεὺς ἴςτω, ἐρίγδουπος πόςις Ἥρης.
ὣς εἰπὼν τὸ ςκῆπτρον ἀνέςχεθε πᾶςι θεοῖςιν,
ἄψοῤῥον δ' Ἰδαῖος ἔβη προτὶ Ἴλιον ἱρήν.
οἳ δ' ἕατ' εἰν ἀγορῇ Τρῶες καὶ Δαρδανίωνες,
πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄρ' ἔλθοι
Ἰδαῖος· ὃ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέειπε
ςτὰς ἐν μέςςοιςιν. τοὶ δ' ὡπλίζοντο μάλ' ὦκα,
ἀμφότερον, νέκυάς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην·
Ἀργεῖοι δ' ἑτέρωθεν ἐυςςέλμων ἀπὸ νηῶν
ὠτρύνοντο νέκυς τ' ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην.
ἠέλιος μὲν ἔπειτα νέον προςέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαῤῥείταο βαθυῤῥόου Ὠκεανοῖο
οὐρανὸν εἰςανιών· οἳ δ' ἤντεον ἀλλήλοιςιν.
ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαςτον·
ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα,

---

V. l. 404 ἀγαςάμενοι E. — 405 ἂρ ADGL. — 407 οὕτω Eust. 25, 44; sed 687, 10 οὕτως. — 408 ἀμφι AD. νεκροῖςι DEG. κατακαιέμεν: κατακηέμεν GLS. κατακειέμεν CH Townl. Vrat. b. Mosc. 1. κατακειέμεν' E. κατακαιόμεν D. — 409 κατατεθνειώτων ACDS Et. Mg. 791, 20. Rhet. Gr. III, 155, 15. — 410 γίγνετ' ALS: γίνετ' CDGH Rhet. Gr. III, 155, 16. γίνεται E. μεληςέμεν C et man. rec. γρ. μειλιςςέμεν. — 412 ὡς A. θεοῖςι D. — 413 προτὶ: ποτὶ S. — 414 οἳ δ' D. οἵδ' CGHL. τρῷες L. — 415 ὁμηγυρέες L. προτιδέγμενοι D 1. man. ὁππότ' ἄρ' DH. ὁππότ' ἂρ A(ἀρ) CL Cant. Harl. Townl. Vrat. c. A. Mosc. 1. 3. ὁππόταν G. ἔλθοι$^{η}$ S. — — 416 ὃ δ' D. ὅδ' CGHL. ἂρ DGL. ἀρ A. ἀπέειπε ACDGH. — 417 μέςcοιcῖ H. — 418 ἀμφότεροι$^{ον}$ L Vrat. c. 1. man. ἀμφοτέρων Mosc. 3. — 419 ἐϋςέλμων DG. γρ. ἐκαρτύναντο φάλαγγας L. — 420 ὤτρυνον ACHLS. ὄτρυνον DG. νέκυας τ' ADGHLS. νέκυάς τ' C. — 422 ἀκαλαρρείτᾱο A. ἀκαλαρείταο βαθυρόου Et. Mg. 44, 36. — 423 εἰς ἀνιών A. οἳ δ' D. οἵδ' CGHL. ἀλλήλοιςι D. — 424 χαλεπὸν C Vrat. b. χαλεπὸν$^{ὦς}$ S. — 425 ἄπο ADEGL Bekk. An. 834, 26. ἀπο CH.

---

A. c. 420 ἀρίςταρχος νέκῡς ἐκτεταμένως καὶ ὀτρύνοντο οὐκ ὄτρυνον Didymus. — 425 ἄπο Herodianus.

δάκρυα θερμὰ χέοντες, ἀμαξάων ἐπάειραν.
οὐδ' εἴα κλαίειν Πρίαμος μέγας· οἳ δὲ σιωπῇ
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν προτὶ Ἴλιον ἱρήν.
ὣς δ' αὔτως ἑτέρωθεν ἐυκνήμιδες Ἀχαιοὶ
νεκροὺς πυρκαϊῆς ἐπενήνεον ἀχνύμενοι κῆρ,
ἐν δὲ πυρὶ πρήσαντες ἔβαν κοίλας ἐπὶ νῆας.
ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ,
τῆμος ἄρ' ἀμφὶ πυρὴν κριτὸς ἤγρετο λαὸς Ἀχαιῶν,
τύμβον δ' ἀμφ' αὐτὴν ἕνα ποίεον ἐξαγαγόντες
ἄκριτον ἐκ πεδίου, ποτὶ δ' αὐτὸν τεῖχος ἔδειμαν
πύργους θ' ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν.
ἐν δ' αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας,
ὄφρα δι' αὐτάων ἱππηλασίη ὁδὸς εἴη·
ἔκτοσθεν δὲ βαθεῖαν ἐπ' αὐτῷ τάφρον ὄρυξαν,
εὐρεῖαν μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξαν.
ὣς οἳ μὲν πονέοντο κάρη κομόωντες Ἀχαιοί·
οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἀστεροπητῇ
θηεῦντο μέγα ἔργον Ἀχαιῶν χαλκοχιτώνων.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν,

V. l. 426 ἀμαξάων ADLS Mor. Cant. ἁμαξάων CEGH. ἐπάειραν A. — 427 οἳ δὲ C. ἐν ἄλλῳ ἀλλὰ σιωπῇ A. — 428 πυρκαιῆς (ι supra) A. πυρκαῖης S. ἐπενήνεον: γρ. καὶ ἐπινήνεον, καὶ ἔστιν ἰακόν A. — 429 προτὶ ACDHL: ποτὶ GS. — 430 ὡς A. αὐτως A. αὔτως GHL. εὐκνήμιδες DGH. — 431 πυρκαϊῆς (ι supra) A. — 432 ἐπι A. — 433 οὔτάρ A. — 434 τῆμος δ' ἀμφὶ Barocc. Mor. ἆρ L. ἀρ A. * ἤγρετο: libri ἔγρετο. — 436 ποτὶ: κατὶ H (sic). — 437 πύργους θ': θ' omitt. ADHL Cant. Lips. Vrat. c. Mosc. 1. 3. εἶλαρ H. εἰλαρ A. τὲ A. — 438 ἐνεποίεον A. — 440 ἐπ': ἐν S Cant. ὤρυξαν EG. — 441 ἐν: περὶ HS Cant. — 442 οἳ μὲν C. κάρη κομόωντες AH: ceteri καρηκομόωντες. — 443 παρ AD. — 444 χαλκοχιτώνων A. — 445 μῦθον D. — 446 τϊς ἐστὶ CEH. τίς ἐστὶ G.

A. c. 428 οὕτως ἀρίσταρχος πυρκαϊὰς (sic) κατὰ γενικὴν Didymus, idem αἱ δὲ Ζηνοδότου (cf. H. T. 54, n. 82) πυρκαϊῇ, καὶ ἔστι χαριέστερον. — 434 antiqua scriptura ΕΓΡΕΤΟ pro ἤγρετο grammaticos veteres in errorem induxit, ut omitterent ε in η convertere. nam ἔγρετο aoristus ab ἐγείρω sententiae non convenit, ἀγείρω autem ἤγρετο facit, vel si augmentum neglexeris ἄγρετο, conf. Ω 789. — 436 Aristophanes ἐν πεδίῳ. — 443—464 ἀθετοῦνται στίχοι κβ' Aristonicus. ἠθέτουν οἱ περὶ Ζηνόδοτον καὶ Ἀριστοφάνη καὶ αὐτὸς Ἀρίσταρχος Schol. AV, conf. Schol. M 17.

ὅϲ τιϲ ἔτ᾽ ἀθανάτοιϲι νόον καὶ μῆτιν *ἐνίψει;
οὐχ ὁράᾳϲ ὅτι δὴ αὖτε κάρη κομόωντεϲ Ἀχαιοὶ
τεῖχοϲ ἐτειχίϲϲαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον
ἤλαϲαν, οὐδὲ θεοῖϲι δόϲαν κλειτὰϲ ἑκατόμβαϲ;
τοῦ δ᾽ ἦ τοι κλέοϲ ἔϲται ὅϲον τ᾽ ἐπικίδναται ἠώϲ·
τοῦ δ᾽ ἐπιλήϲονται, τὸ ἐγὼ καὶ Φοῖβοϲ Ἀπόλλων
ἥρῳ Λαομέδοντι πολίϲϲαμεν ἀθλήϲαντε.
τὸν δὲ μέγ᾽ ὀχθήϲαϲ προϲέφη νεφεληγερέτα Ζεύϲ·
ὢ πόποι ἐννοϲίγαι᾽ εὐρυϲθενέϲ, οἷον ἔειπεϲ.
ἄλλόϲ κέν τιϲ τοῦτο θεῶν δείϲειε νόημα,
ὃϲ ϲέο πολλὸν ἀφαυρότεροϲ χεῖράϲ τε μένοϲ τε·
ϲὸν δ᾽ ἦ τοι κλέοϲ ἔϲται ὅϲον τ᾽ ἐπικίδναται ἠώϲ.
ἄγρει μάν, ὅτ᾽ ἂν αὖτε κάρη κομόωντεϲ Ἀχαιοὶ
οἴχωνται ϲὺν νηυϲὶ φίλην ἐϲ πατρίδα γαῖαν,
τεῖχοϲ ἀναρρήξαϲ τὸ μὲν εἰϲ ἅλα πᾶν καταχεῦαι,
αὖτιϲ δ᾽ ἠιόνα μεγάλην ψαμάθοιϲι καλύψαι,
ὥϲ κέν τοι μέγα τεῖχοϲ ἀμαλδύνηται Ἀχαιῶν.
ὣϲ οἱ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον.
δύϲετο δ᾽ ἠέλιοϲ, τετέλεϲτο δὲ ἔργον Ἀχαιῶν,
βουφόνεον δὲ κατὰ κλιϲίαϲ καὶ δόρπον ἕλοντο.
νῆεϲ δ᾽ ἐκ Λήμνοιο παρέϲταϲαν οἶνον ἄγουϲαι

V. l. 448 ὅτι DEGL. OTI Ambros. ὅτε ACH Townl. Lips. Schol. M 4. * δὴ αὖτε: libri δ᾽ αὖτε. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 449 ἐτειχίϲαντο CEGH Schol. M 4. ἐτεκτήναντο Hesychius III, 152. ἀμφι D. — 452 * δ᾽ ἦ τοι: vulgo δ᾽ ἤτοι. δή τοι AGH. ὅϲον: ὅϲ^{ο}ην A. OCHN Ambros. ὅϲϲον τ᾽ ἐπιϲκίδναται G. τ᾽ omitt. L. — 452 τό τ᾽ ἐγὼ A Ambros. L Schol. Φ 446. ὅτ᾽ ἐγὼ CDGHS. — 453 ἥρωϊ CDGHL Schol. ν 35, ο 157. ἥρωι AS Cant. Barocc. ἥρῳ E. ἀθλήϲαντε ACDS: ἀθλήϲαντεϲ GHL Barocc. Mor. Vrat. b. — 454 τόνδε GHL. νεφεληγερέτα A. — 455 ἐνοϲίγαιε G. ἔειπαϲ C. ἔειπα^{εϲ}ϲ L. — 456 ἄλλόϲ A. κέν: δή E. — 458 ϲὸν: ϲοὶ S. τοῦ L. δή τοι DE 691, 1 et 19 LS Vrat. b. A. Mosc. 1. 3. ὅϲ^{ο}ην A. OCHN Ambros. τ᾽ omitt. L. — 459 ἄγρει μὲν Mosc. 3. ὅταν CDGL. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 460 οἴχονται GH Mor. Barocc. Townl. Vrat. A. — 461 κατάχευε L. κατέχευε H. καταχεύϲω G. καταχεῦϲαι Mor. Lips. — 462 αὖθιϲ C. αὖτίϲ τ᾽ S. καλύψω G. — 464 οἳ μὲν C. — 465 δύϲετό τ᾽ CHL Lips. δύϲϲετό τ᾽ DE bis. δύϲετο τ᾽ (δ) A. δύϲϲατο δ᾽ G. — 467 παρέϲταϲαν: παρέτρεϲαν Schol. O 705.

A. c. 451 ὅϲον Zenodotus. ἀρίϲταρχοϲ ὅϲην, ἄλλοι δὲ ὅϲον Didymus. — 452 ἀρίϲταρχοϲ τὸ ἐγὼ Didymus. — 453 ἥρῳ Aristarchus διϲυλλάβωϲ, hic et θ 483.

πολλαί, τὰϲ προέηκεν Ἰηϲονίδηϲ Εὔνηοϲ,
τόν ῥ᾽ ἔτεχ᾽ Ὑψιπύλη ὑπ᾽ Ἰήϲονι, ποιμένι λαῶν.
χωρὶϲ δ᾽ Ἀτρείδηϲ, Ἀγαμέμνονι καὶ Μενελάῳ,
δῶκεν Ἰηϲονίδηϲ ἀγέμεν μέθυ, χίλια μέτρα.
ἔνθεν ἄρ᾽ οἰνίζοντο κάρη κομόωντεϲ Ἀχαιοί,
ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ᾽ αἴθωνι ϲιδήρῳ,
ἄλλοι δὲ ῥινοῖϲ, ἄλλοι δ᾽ αὐτῇϲι βόεϲϲιν,
ἄλλοι δ᾽ ἀνδραπόδεϲϲι· τίθεντο δὲ δαῖτα θάλειαν.
παννύχιοι μὲν ἔπειτα κάρη κομόωντεϲ Ἀχαιοὶ
δαίνυντο, Τρῶεϲ δὲ κατὰ πτόλιν ἠδ᾽ ἐπίκουροι·
παννύχιοϲ δέ ϲφιν κακὰ μήδετο μητίετα Ζεὺϲ
ϲμερδαλέα κτυπέων· τοὺϲ δὲ χλωρὸν δέοϲ ᾕρει·
οἶνον δ᾽ ἐκ δεπάων χαμάδιϲ χέον, οὐδέ τιϲ ἔτλη
πρὶν πιέειν, πρὶν λεῖψαι ὑπερμενέι Κρονίωνι.
κοιμήϲαντ᾽ ἄρ᾽ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο.

---

# ΙΛΙΑΔΟϹ Θ.

Ἠὼϲ μὲν κροκόπεπλοϲ ἐκίδνατο πᾶϲαν ἐπ᾽ αἶαν,
Ζεὺϲ δὲ θεῶν ἀγορὴν ποιήϲατο τερπικέραυνοϲ

---

V. L. 470 ἀτρείδηϲ᾽ DEGHL. — 472 ἔνθεν: ἔνθ᾽ D Et. Gud. 603, 17. ἂρ DEGL. ἀρ A. κάρη κομόωντεϲ AH, ut 459. — 474 δὲ: δ᾽ ἐν G Mor. Barocc., conf. H. U. 60. ῥηνοῖϲ D. αὐτῇϲι ADEGHL: αὐτοῖϲι C Bekk. An. 834, 13. Maxim. Tyrius Diss. XXXIX, 1. Philemo 233, 20. Eust. 1012, 33. βόεϲϲι C. — 475 ἀνδραπόδοιϲ Et. Mg. 146, 45. — 476 κάρη κομόωντεϲ AH. — 477 τρῷεϲ L. — 478 παννύχιον Schol. Θ 2. ϲφι DG Schol. Θ 2. — 482 κοιμίϲϲαντ᾽ L. ἂρ DEGL. ἀρ A.

---

A. c. 474 ἀυτῇϲι Aristarchus, conf. Aristonicum. — 475 ἀθετεῖται Aristonicus. ἡ τῶν ἀνδραπόδων λέξιϲ νεωτερική ἐϲτι κατὰ τοὺϲ παλαιούϲ. διὸ καὶ Ἀριϲτοφάνηϲ καὶ Ζηνόδοτοϲ ἠθέτουν τὸ ἔποϲ, ἐν ᾧ κεῖται ἡ λέξιϲ αὕτη Eust. 692, 21. ἀνδραπόδεϲϲι: ἀρίϲταρχοϲ διὰ τοῦ ο ἀνδραπόδοιϲι Didymus. τινὲϲ δὲ ἀνδραπόδοιϲι γράφουϲιν Eust. 692, 24. — 481 πρὶν πιέειν: ἀρίϲταρχοϲ πιέμεναι πρὶν λείψω (sic) Didymus. — 482 Ζηνόδοτοϲ καὶ τοῦτον καὶ τὸν πρῶτον τῆϲ ἑξῆϲ ῥαψῳδίαϲ ἦρκε ϲτίχον Schol. AB.

---

A. c. 1 Ζηνόδοτοϲ μετατίθηϲι τὴν ἀνατολὴν κάτω πρὸϲ τὸ „οἱ δ᾽ ἄρα δεῖπνον ἕλοντο“ (53) Aristonicus, conf. Schol. ad Θ 53 et Düntzer. Zenod. p. 154.